38 πλωέμεναι χατέουσιν ἀληθέα ταῦτά κεν εἴποις.
39 εὖτε Σεληναίῃ μή τις κακὸς ἠέπερ ἐσθλός
μαρτυρέοι καὶ δ᾽ αὐτὴ ὑπερχθονίη φορέοιτο
τῶν πρώτων Κριοῖο παρερχομένη μοιράων
εἰς δεκάτην οὕτω κ⟨εν⟩ ἐΰπλους τεκμαίροιο.
40 Ταύρῳ δὲ μέγα χεῖμα, κακὸς δέ ⟨ἑ⟩ μή τις ὁράτω,
λυγρὸν ἐπεὶ τούτοις ἔργου τέλος αἰὲν ὁμαρτεῖ.
41 ἐν Διδύμοις εὖτ᾽ ἄν τις ἀπ᾽ ὀγδοάτης ἀνάγηται
νόστος μὲν χρόνιος τότε ἔσται, ἀλλ᾽ ἐπιτερπής.
42 Καρκίνος αὖ πολλαῖς κεν ἀνιήσειε γαλήναις,
ἀλλ᾽ οὐδὲν βλαφθεὶς ἀφίκοιτό κεν ἧχι θελήσει.
43 ⟨αἴ⟩ κε κατὰ βλοσυροῖο τύχῃ καθιεῖσα Λέοντος
ἔσται τις κίνδυνος ὕπερθ᾽ ἁλὸς ἀνέρι τούτῳ,
μαρτυρέων δ᾽ ὀλοός τις ἐπ᾽ ἄλγεσιν ἄλγεα θήσει.
44 ναὶ μὴν Παρθενικὴ σταχυηφόρος οὔτι περ ὠκύν
45 οἴσει σινομένοις πλόον ἀνδράσιν. ἀμφὶ Ζυγῷ δέ
ἐκ μοίρης δεκάτης οὐ μέμψεται οὐδὲ κέλευθον
ὑγρὴν οὐδέ περ ἄλλο καὶ ἣν εἰς οἶκον ἴῃσι.
46 Σκορπίῳ ἀμφὶς ἐοῦσα τὰ μὲν κατὰ πόντον ἐκείνοις
ἀσφαλέως θήσει, ψυχὴν δ᾽ εἴωθε ταράσσειν.
47 Τοξευτὴς χειμῶνα φόβους τ᾽ ἐπισύρεται ἄλλους.
48 εὔπλοος Αἰγόκερως ὅτ᾽ ἀμείψεται ἐννέα μοίρας,
ἔμπης δ᾽ αὖτε καὶ αὐτὸς ἄγει ταραχήν τινα θυμῷ.
49 νωθὴς Ὑδροχόος, τὸ δέ τοι τέλος οὐκ ἐπίμεμπτον.
50 Ἰχθύσι δ᾽ αὖ κίνδυνα, νόσον τ᾽ ἐπὶ τοῖσιν ἔσεσθαι
σημαίνει, Θούροιο μάλιστα ⟨δὲ⟩ δερκομένοιο
λυγρῇ μαρτυρίῃ, πεφύλαξο δὲ νήϊον ἱστόν.

51 Φησὶ γὰρ ἐν τοῖς ἑξῆς· μὴ ἔστω ἡ Σελήνη συνάπτουσα τῷ Κρόνῳ
52 στηρίζοντι μήτε τετράγωνος. λέγει γὰρ ὅτι ἐὰν καὶ τριγωνίζῃ καὶ οὕτω
μόγις σωθήσονται ἐκβαλόντες τὰ φορτία, συνδιατιθέντος δὲ μετ᾽ αὐτῶν στηρίζοντος καὶ τοῦ Ἑρμοῦ πλείονα καὶ χείρονα τὰ κακὰ ἔσται, ἀγαθοποιοῦ δὲ ὁρῶντος ἐλαφρὰ τὰ κακά.

53 εἴκελα δ᾽ αὖ τούτοις ῥέζει Κρόνος ὡρονομεύων
καὶ χωρὶς Μήνης ἑλικώπιδος, εἰ δ᾽ ἐν ζῴῳ